# TEZAUR LITURGIC

## 11 MARTIE
## GHERASIM MIKRAGHIANANITUL

# SLUJBA SF.IERARH SOFRONIE, PATRIARHUL IERUSALIMULUI

ATENA,2020


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

# 11 ΜΑΡΤΙΟΣ
# ΣΩΦΡΟΝΙΟΣ ΙΕΡΟΣΟΛΥΜΩΝ
# ΑΚΟΛΟΥΘΙΑ

## ΜΕΓΑΣ ΕΣΠΕΡΙΝΟΣ

Εὐλογήσαντος τοῦ ἱερέως, ὁ Προοιμιακός, καὶ τό· *Μακάριος ἀνήρ.* Εἰς δὲ τό· *Κύριε ἐκέκραξα*, ἱστῶμεν στίχους στʼ καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια τοῦ Πατριάρχου. Ἦχος δ'. Ὡς γενναῖον ἐν Μάρτυσιν.

Σωφροσύνης ἐπώνυμος, ἐξ ἐνθέου προγνώσεως, προκληθεὶς Σωφρόνιος, σώφρων γέγονας, ἐπὶ τῶν ἔργων καὶ δίκαιος, ἀνδρεῖος καὶ φρόνιμος, ἀρεταῖς ταῖς γενικαῖς, γενικῶς στεφανούμενος, καὶ διένειμας, προσφυῶς ἑκατέρῳ τῇ ψυχῇ τε, καὶ τῷ σώματι, καθάπερ, διαιτητὴς ἀκριβέστατος.

Θεολόγου ἐκ στόματος, θεολόγους ἐβρόντησας, διδαχὰς Σωφρόνιε, παμμακάριστε, θεολογήσας τρανότατα, Πατέρα τὸν ἄναρχον, καὶ συνάναρχον Υἱόν, καὶ τὸ Πνεῦμα τὸ Ἅγιον, συναΐδιον, ἐν μονάδι Τριάδα καὶ Μονάδα, ἐν Τριάδι Θεὸν ἕνα, τῇ οὐσιώδει ταυτότητι.

Τῇ σαρκὶ καθ' ὑπόστασιν, ἑνωθέντα τὸν ἄσαρκον, καὶ Πατρὶ συνάναρχον, Λόγον Πάνσοφε, δίχα τροπῆς καὶ συγχύσεως, σοφῶς ἐδογμάτισας, ἐνεργοῦντα δὲ διττῶς, καταλλήλως ταῖς φύσεσιν, ἐξ ὧν σύγκειται, καὶ

ἐν αἷς θεωρεῖται εἷς ὑπάρχων, ἀδιαίρετος τῷ ὄντι, τοῦτο κἀκεῖνο νοούμενος.

*Ἕτερα. Ἦχος β΄. Ποίοις εὐφημιῶν.*

Ποίοις, εὐφημιῶν στέμμασιν, ἀναδήσωμεν τὸν Ἱεράρχην; Τὸ λαμπρὸν δοχεῖον τοῦ Πνεύματος, καὶ τῆς εὐσεβείας τὴν σάλπιγγα, τῆς Ὀρθοδοξίας τὸν φωστῆρα, τὸν λύχνον, τῶν ἀρετῶν τὸν φαεινότατον, τὸ σκεῦος, τῶν οὐρανίων ἐπιλάμψεων, τῆς σωφροσύνης τὴν στήλην, τῶν ὀρθῶν δογμάτων τὸν πολύτιμον θησαυρόν, τὸν μέγαν Σωφρόνιον, Ἐκκλησίας τὸ ἀγλάϊσμα.

Ποίοις, ὑμνῳδιῶν κάλλεσιν, ἀνυμνήσωμεν τὸν Ἱεράρχην; Τὸν τῆς σωφροσύνης ἐπώνυμον, καὶ Σιὼν ποιμένα τὸν ἄριστον, τὸν μυσταγωγὸν βίου ὁσίου, τὸ στόμα, τῆς ἀληθείας τὸ θεόφθογγον, τὴν γλῶσσαν, τῶν θεοσδότων παραδόσεων, τὸν ἐν δυνάμει σοφίας, τὸν ἄῤῥητον λόγον, τῆς σαρκώσεως τοῦ Χριστοῦ, σοφῶς ἀναπτύσσοντα, καὶ τὸν κόσμον καταυγάζοντα.

Ποίοις, πνευματικοῖς ᾄσμασιν, εὐφημήσωμεν τὸν Ἱεράρχην; Τὸν ἐν τῇ Σιὼν διαπρέψαντα, καὶ τὴν Ἐκκλησίαν φαιδρύναντα, βίῳ τε καὶ λόγῳ καὶ σοφίᾳ, τὸ θεῖον, τῶν Ἀποστόλων ἀφομοίωμα, τὸ μέγα, τῶν θλιβομένων καταφύγιον, τῶν κλονουμένων τὸν στύλον, τῶν πιστῶν προστάτην, καὶ μεσίτην πρὸς τὸν

Χριστόν· δι᾽ οὗ κομιζόμεθα, τῶν πταισμάτων τὴν συγχώρησιν.

*Δόξα. Ἦχος πλ. δ΄.*

Σοφίᾳ κοσμήσας τὸν βίον σου, τῶν παρ᾽ αὐτῆς ἐπλήσθης δωρεῶν, ἱεροφάντορ Σωφρόνιε, θεοπρεπῶς πολιτευσάμενος. Τὸ γὰρ κρεῖττον ἀπὸ παιδὸς προελόμενος, τὴν ἀρετὴν ὁλοσχερῶς ἠγάπησας, καὶ τῶν κατ᾽ αὐτὴν ἀναβάσεων, ἐνθεώτατος μύστης, καὶ πρακτικώτατος ὁδηγός, ἀληθῶς ἐχρημάτισας. Καὶ ἀποστολικὴν πλουτήσας χάριν, πανσόφως ἐποίμανας, τὴν ἐν Σιὼν Ἐκκλησίαν τοῦ Θεοῦ, ὡς Ἱεράρχης θεόληπτος. Καὶ νῦν πρέσβευε μακάριε, ὡς ἔχων παῤῥησίαν πρὸς Χριστόν, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

*Καὶ νῦν. Θεοτοκίον*

Ὁ Βασιλεὺς τῶν οὐρανῶν, διὰ φιλανθρωπίαν, ἐπὶ τῆς γῆς ὤφθη, καὶ τοῖς ἀνθρώποις συνανεστράφη· ἐκ Παρθένου γὰρ ἁγνῆς, σάρκα προσλαβόμενος καὶ ἐκ ταύτης προελθὼν μετὰ τῆς προσλήψεως, εἷς ἐστιν Υἱός, διπλοῦς τὴν φύσιν, ἀλλ' οὐ τὴν ὑπόστασιν· διὸ τέλειον αὐτὸν Θεόν, καὶ τέλειον ἄνθρωπον, ἀληθῶς κηρύττοντες, ὁμολογοῦμεν Χριστὸν τὸν Θεὸν ἡμῶν, ὃν ἱκέτευε Μήτηρ ἀνύμφευτε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

*Εἴσοδος, Φῶς ἱλαρόν, τὸ προκείμενον τῆς ἡμέρας καὶ τὰ ἀναγνώσματα.*

*Παροιμιῶν τὸ Ἀνάγνωσμα. (ι΄ 7, γ΄ 13-16, ἐκλογή).*

Μνήμη δικαίου μετ᾽ ἐγκωμίων, καὶ εὐλογία Κυρίου ἐπὶ κεφαλὴν αὐτοῦ. Μακάριος ἄνθρωπος, ὃς εὗρε σοφίαν, καὶ θνητός, ὃς εἶδε φρόνησιν. Κρεῖσσον γὰρ αὐτὴν ἐμπορεύεσθαι, ἢ χρυσίου καὶ ἀργυρίου θησαυρούς. Τιμιωτέρα δέ ἐστι λίθων πολυτελῶν· πᾶν δὲ τίμιον, οὐκ ἄξιον αὐτῆς ἐστιν. Ἐκ γὰρ τοῦ στόματος αὐτῆς ἐκπορεύεται δικαιοσύνη, νόμον δὲ καὶ ἔλεον ἐπὶ γλώσσης φορεῖ. Τοιγαροῦν ἀκούσατέ μου, ὦ τέκνα, σεμνὰ γὰρ ἐρῶ· καὶ μακάριος ἄνθρωπος, ὃς τὰς ἐμὰς ὁδοὺς φυλάξει. Αἱ γὰρ ἔξοδοί μου, ἔξοδοι ζωῆς, καὶ ἑτοιμάζεται θέλησις παρὰ Κυρίου. Διὰ τοῦτο παρακαλῶ ὑμᾶς, καὶ προΐεμαι ἐμὴν φωνὴν υἱοῖς ἀνθρώπων. Ὅτι ἐγὼ ἡ Σοφία κατεσκεύασα βουλὴν καὶ γνῶσιν καὶ ἔννοιαν ἐγὼ ἐπεκαλεσάμην. Ἐμὴ βουλὴ καὶ ἀσφάλεια, ἐμὴ φρόνησις, ἐμὴ δὲ ἰσχύς. Ἐγὼ τοὺς ἐμὲ φιλοῦντας ἀγαπῶ, οἱ δὲ ἐμὲ ζητοῦντες, εὑρήσουσι χάριν. Νοήσατε τοίνυν ἄκακοι πανουργίαν, οἱ δὲ ἀπαίδευτοι ἔνθεσθε καρδίαν. Εἰσακούσατέ μου καὶ πάλιν, σεμνὰ γὰρ ἐρῶ, καὶ ἀνοίγω ἀπὸ χειλέων ὀρθά. Ὅτι ἀλήθειαν μελετήσει ὁ λάρυγξ μου, ἐβδελυγμένα δὲ ἐναντίον ἐμοῦ χείλη ψευδῆ. Μετὰ δικαιοσύνης πάντα τὰ ῥήματα τοῦ στόματός μου· οὐδὲν ἐν αὐτοῖς σκολιόν, οὐδὲ στραγγαλιῶδες. Πάντα εὐθέα ἐστὶ τοῖς νοοῦσι, καὶ ὀρθὰ τοῖς εὑρίσκουσι γνῶσιν. Διδάσκω γὰρ ὑμῖν ἀληθῆ, ἵνα γένηται ἐν Κυρίῳ ἡ ἐλπὶς ὑμῶν, καὶ πλησθήσεσθε Πνεύματος.

*Παροιμιῶν τὸ Ἀνάγνωσμα.*

Στόμα δικαίου ἀποστάζει σοφίαν, γλῶσσα δὲ ἀδίκου ἐξολεῖται. Χείλη ἀνδρῶν δικαίων ἐπίστανται χάριτας, στόμα δὲ ἀσεβῶν καταστρεφήσεται. Ζυγοὶ δόλιοι βδέλυγμα ἐνώπιον Κυρίου, στάθμιον δὲ δίκαιον δεκτὸν αὐτῷ. Οὗ ἐὰν εἰσέλθῃ ὕβρις ἐκεῖ καὶ ἀτιμία, στόμα δὲ ταπεινῶν μελετᾷ σοφίαν. Τελειότης εὐθέων ὁδηγήσει αὐτούς, καὶ ὑποσκελισμὸς ἀθετούντων προνομεύσει αὐτούς. Οὐκ ὠφελήσει ὑπάρχοντα ἐν ἡμέρᾳ θυμοῦ, δικαιοσύνη δὲ ῥύσεται ἀπὸ θάνατον. Ἀποθανὼν δίκαιος ἔλιπε μετάμελλον, πρόχειρος δὲ γίνεται καὶ ἐπίχαρτος ἀσεβῶν ἀπώλεια. Δικαιοσύνη ἄμωμον ὀρθοτομεῖ ὁδούς, ἀσέβεια δὲ περιπίπτει ἀδικίᾳ. Δικαιοσύνη ἀνδρῶν ὀρθῶν ῥύσεται αὐτούς, τῇ δὲ ἀβουλίᾳ ἁλίσκονται παράνομοι. Τελευτήσαντος ἀνδρὸς δικαίου, οὐκ ὄλλυται ἐλπίς, τὸ δὲ καυχηματῶν ἀσεβῶν ὄλλυται. Δίκαιος ἐκ θήρας ἐκδύνει, ἀντ᾽ αὐτοῦ δὲ παραδίδοται ὁ ἀσεβής. Ἐν στόματι ἀσεβῶν παγὶς πολίταις, αἴσθησις δὲ δικαίου εὔοδος. Ἐν ἀγαθοῖς δικαίων κατώρθωται πόλις, καὶ ἐν ἀπωλείᾳ ἀεβῶν ἀγαλλίαμα. Ἐν εὐλογίᾳ εὐθέων ὑψωθήσεται πόλις, στόματα δὲ ἀσεβῶν κατασκαφήσεται. Μυκτηρίζει πολίτας ἐνδεεῖς φρενῶν, ἀνὴρ δὲ φρόνιμος ἡσυχίαν ἄγει.

*Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα. (Κεφ. δ' 7 - 11)*

Δίκαιος, ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται. Γῆρας γὰρ τίμιον, οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ

ἐτῶν μεμέτρηται. Πολιὰ δέ ἐστι φρόνησις ἀνθρώποις, καὶ ἡλικία γήρως, βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ γενόμενος, ἠγαπήθη· καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν μετετέθη. Ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ. Βασκανία γὰρ φαυλότητος, ἀμαυροῖ τὰ καλά, καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ, ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ, διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

*Λιτή. Ἰδιόμελα. Ἦχος α΄.*

Φερωνύμως διαπρέψας, τῆς σωφροσύνης ἐνδιαίτημα, θεοπρεπὲς ἐδείχθης, Ἱεράρχα Σωφρόνιε· ὅθεν τὸ πανάγιον Πνεῦμα, τῇ καθαρᾷ σου οἰκῆσαν καρδίᾳ, ὄργανον θεῖόν σε εἰργάσατο, καὶ μυσταγωγὸν θεοειδῆ, τοῦ Εὐαγγελίου τῆς εἰρήνης, καὶ οἰκονόμον σοφόν, τῶν μυστηρίων τῆς χάριτος. Δι’ ὧν τὸν μὲν λαὸν τοῦ κυρίου, θεοφιλῶς διήγαγες, τῆς δὲ ἀληθείας τὴν γνῶσιν, ἐν ταῖς ψυχαῖς ἐθησαύρισας, τῶν ἐν συνέσει βοώντων· Κύριε, δόξα Σοι.

*Ἦχος β΄.*

Τὴν ἱεραρχικήν σου διπλοΐδα, τῇ καθαρωτάτῃ πολιτείᾳ, περιφανεστέραν εἰργάσω, ἱερὲ Σωφρόνιε. Τῶν ἀρετῶν γὰρ τῷ πυρί, σῶμα καὶ ψυχὴν

καθαγνίσας, τῆς ἀπαθείας ἐταμιεύσω τὸν πλοῦτον· ὅθενν ὅσιος καὶ ἄκακος, Ἀρχιερεὺς ἐχρημάτισας, καὶ Χριστοῦ τοῦ ἀρχιποίμενος, μιμητὴς πανάριστος. Ὢ πρέσβευε δεόμεθα, Ἱεράρχα ἔνδοξε, χάριν δοῦναι καὶ ἔλεος, τοῖς εὐσεβῶς βοῶσι· Κύριε, δόξα Σοι.

*Ἦχος γ΄.*

Ἱερατεύων ἐν Σιών, ἐν ταπεινώσει καρδίας, καὶ τὸν λαὸν τοῦ Χριστοῦ ἐν σοφίᾳ καὶ χάριτι διεξάγων, τῶν Ἀποστόλων ὁμόζηλος ὤφθης, καὶ τῆς ἐκείνων δωρεᾶς ἰσότιμος, ἱεροφάντα Σωφρόνιε· ἡ γὰρ τοῦ Παρακλήτου ἔλλαμψις, ἡ πρὶν αὐτοὺς ἐμφορήσασα, καὶ ἐν σοὶ μυστικῶς καταπεφοίτηκεν, ὡς ἀληθῶς θεσπέσιε· ὅθεν στόμα θεῖον πέφηνας, καὶ ὑπὲρ μέλι καὶ κηρίον, οἱ λόγοι ἡμᾶς εὐφραίνουσι. Τὸ γὰρ ἄῤῥητον μυστήριον, τῆς ἐν Χριστῷ οἰκονομίας, ὀρθοδόξως διδάσκεις, καὶ πάντας διεγείρεις Θεῷ κράζειν· Κύριε, δόξα Σοι.

*Δόξα. Ἦχος δ΄.*

Τὴν τῶν Ὁσίων Πατέρων, πόθῳ πολλῷ ἀνιχνεύσας ζωήν, καὶ τῶν ἐναρέτων καμάτων, μυηθεὶς τὰ κατορθώματα, πράξεων ἁγίων θησαυρῶν, καὶ ἠθῶν ἀμέμπτων στηλογραφίαν, καὶ πρὸς Θεὸν ἐπιστροφῆς ὑποτύπωσιν, τῇ Ἐκκλησίᾳ παρέθου Σωφρόνιε. Πάντας γὰρ διδάσκεις μακάριε, μὴ ὑπερφρονεῖν παρ’ ὃ δεῖ φρονεῖν, ἀλλὰ φρονεῖν εἰς τὸ σωφρονεῖν, καὶ Θεῷ λατρεύειν ἐν ὁσιότητι καὶ δικαιοσύνῃ, καὶ θεοφρόνως κράζειν· Κύριε, δόξα Σοι.

*Καὶ νῦν. Θεοτοκίον.*

Ἐκ παντοίων κινδύνων λύτρωσαι εὐλογημένη Θεοτόκε, ἵνα Σὲ δοξάζομεν, τὴν ἐλπίδα τῶν ψυχῶν ἡμῶν.

*Εἰς τὸν Στίχον. Ἦχος πλ. α΄. Χαίροις ἀσκητικῶν.*

Χαίροις, ὁ τῆς ἁγίας Σιών, ποιμὴν ὁ μέγας Ἱεράρχα Σωφρόνιε, καὶ πάσης τῆς Ἐκκλησίας, ὁ σελασφόρος ἀστήρ, ὁ τῶν ἀρετῶν σου ταῖς ἐλλάμψεσι, πυρσεύων ἑκάστοτε, εὐσεβῶν τὴν διάνοιαν, πρὸς μετουσίαν, τῆς ἐνθέου λαμπρότητος, τῆς ἐν πράξεσιν, ἀληθοῦς τελειότητος· λύχνος ὁ φαιενότατος, πυρσὸς ὁ ἀνέσπερος, τῆς οὐρανίου σοφίας, καὶ δωρεῶν τῶν τῆς χάριτος. Χριστὸν καταπέμψαι, ταῖς ψυχαῖς ἡμῶν δυσώπει, τὸ μέγα ἔλεος.

Στ.: *Τὸ στόμα μου λαλήσει σοφίαν, καὶ ἡ μελέτη τῆς καρδίας μου σύνεσιν.*

Χαίροις, τῆς σωφροσύνης εἰκών, τῶν ἀρετῶν ὁ θησαυρὸς ὁ πολύτιμος, ὁ μύστης τῶν ἀποῤῥήτων, στόμα τῆς ἄνω φθογγοῖς, τὸ τοῦ Παρακλήτου ἐνιδάιτημα, ὁ στύλος ὁ πάμφωτος, ὁ ἐκ γῆς πρὸς οὐράνια, τῆς Ἐκκλησίας, ὁδηγῶν θείῳ πνεύματι, τὰ πληρώματα, Ἱεράρχα Σωφρόνιε, ὄργανον τὸ θεόπνευστον, δογμάτων τῆς πίστεως, ὁ μυστογράφος ὁ θεῖος, τῶν ἐν Χριστῷ ἀναβάσεων, Αὐτὸν ἐκδυσώπει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ μέγα ἔλεος.

Στ.: *Οἱ ἱερεῖς Σου Κύριε ἐνδύσονται δικαιοσύνην, καὶ οἱ ὅσιοί Σου ἀγαλλιάσονται.*

Χαίροις, ὁ ἐκ παιδὸς τῷ Θεῷ, ἀνατεθεὶς καὶ τὴν σοφίαν ὡς γέγραπται, φιλήσας ἔρωτι θείῳ, καὶ καθαρᾷ ἀγωγῇ, καὶ ἠθῶν ἀμέμπτων τῇ σεμνότητι· ἐντεῦθεν τετίμησε, παρ' αὐτῆς θείαις χάρισι, καὶ μέγας ὤφθης, ἀληθῶς καὶ περίβλεπτος, κόσμῳ Ὅσιε, ἔν τε λόγοις καὶ πράξεσιν· ὅθεν σὲ μακαρίζομεν, παμμάκαρ Σωφρόνιε, καὶ τὴν ἁγίαν σου μνήμην, χρεωστικῶς ἑορτάζομεν, ἐν ᾗ πᾶσι δίδου, τῆς θερμῆς σου προστασίας, Πάτερ τὰς χάριτας.

*Δόξα. Ἦχος πλ. δ΄.*

Τῇ αἴγλῃ τοῦ Πνεύματος, καταλαμφθεὶς τὴν ψυχήν, παγκοσμίως ἔλλαμψας, Ἱεράρχα Σωφρόνιε· ἐξ ὄρους γὰρ Σιὼν ὡς ἄλλος ἀπόστολος, εὐηγγελίσω τὰ κρείττονα, καὶ τὸν λόγον τῆς Χάριτος, πανταχοῦ ἐφήπλωσας, παιδεύων καὶ διδάσκων, γνῶσιν σωτήριον. Εἰς πᾶσαν γὰρ τὴν γῆν, ἐξῆλθεν ὁ φθόγγος σου, κατὰ Δαβὶδ τὸν θεῖον, καὶ ἡ χάρις τῶν ῥημάτων σου, ἀληθῶς στηρίζει, τοὺς πιστῶς ἑορτάζοντας, τὴν ἁγίαν μνήμην σου.

*Καὶ νῦν. Θεοτοκίον.*

Δέσποινα πρόσδεξαι τὰς δεήσεις τῶν δούλων Σου καὶ λύτρωσαι ἡμᾶς ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

*Νῦν ἀπολύεις. Τρισάγιον.*

*Ἀπολυτίκιον . Ἦχος πλ. δ'. Ταχὺ προκατάλαβε.*

Σωφρόνως τὸν βίον σου, διαγαγὼν ἐκ παιδός, τὴν χάριν τοῦ Πνεύματος, εἰσεποιήσω σαφῶς, Σωφρόνιε πάνσοφε· ὅθεν ἱεραρχίας, ταῖς ἀκτῖσιν ἐκλάμψας, ὤφθης τῆς εὐσεβείας, εὐκλεὴς ὑποφήτης. Καὶ νῦν δυσώπει Ὅσιε, ὑπὲρ τῶν τιμώντων σε.

*Δόξα... Καὶ νῦν... Θεοτοκίον*

Τὸ ἀπ' αἰῶνος ἀπόκρυφον, καὶ Ἀγγέλοις ἄγνωστον μυστήριον· διὰ σοῦ Θεοτόκε τοῖς ἐπὶ γῆς πεφανέρωται, Θεὸς ἐν ἀσυγχύτῳ ἑνώσει σαρκούμενος, καὶ Σταυρὸν ἑκουσίως ὑπὲρ ἡμῶν καταδεξάμενος, δι' οὗ ἀναστήσας τὸν πρωτόπλαστον, ἔσωσεν ἐκ θανάτου τὰς ψυχὰς ἡμῶν.

*Ἀπόλυσις.*

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

*Μετὰ τὴν α' Στιχολογίαν,*

*Κάθισμα. Ἦχος α'. Τὸν τάφον Σου Σωτήρ.*

Σοφίας ἀληθοῦς, ἀγαπήσας τὴν κτίσιν, κατάλληλον ζωήν, νουνεχῶς ἐπεδείξω, καὶ πρόεδρος περίδοξος, Ἱεράρχα Σωφρόνιε, ἐχρημάτισας, τῆς ἐν Σιὼν Ἐκκλησίας· ὅθεν σήμερον, τὴν φωτοφόρον σου μνήμην, φαιδρῶς ἑορτάζομεν.

*Δόξα... Καὶ νῦν... Θεοτοκίον*

Σαρκὶ τῇ καθ’ ἡμᾶς. ἀσυγχύτως ἡνώθη, ὁ Λόγος τοῦ Θεοῦ, ἐξ ἁγνῶν Σου αἱμάτων, καὶ ἄνθρωπος ἐγένετο, μὴ ἐκστὰς τῆς Θεότητος, καὶ ἐθέωσε, τὴν τῶν ἀνθρώπων οὐσίαν· ὅθεν Δέσποινα, ὡς τῆς καθ’ ἡμῶν σωτηρίας, αἰτίαν ὑμνοῦμέν Σε.

*Μετὰ τὴν β’ Στιχολογίαν,*
*Κάθισμα. Ἦχος γ΄. Θείας πίστεως.*

Θείου πνεύματος, τῇ ἐπιπνοίᾳ, ποιμὴν ἔνθεος, τῆς Ἐκκλησίας, τῆς ἐν Σιὼν ἀνεδείχθης Σωφρόνιε, ὡς τῶν Ἀποστόλων τῶν θείων ὁμότροπος, καὶ πολλοστῶς ἐν σοφίᾳ καὶ ἔνδοξος· ἀλλὰ πρέσβευε, δοθῆναι τοῖς Σὲ γεραίρουσι, πταισμάτων ἱλασμὸν καὶ μέγα ἔλεος.

*Δόξα... Καὶ νῦν... Θεοτοκίον*

Θεὸν τέτοκας, ἀνερμηνεύτως, ἐξ αἱμάτων Σου, δι’ εὐσπλαγχνίαν, Θεογεννῆτορ ἡμᾶς ἀναπλάττοντα, καὶ μετὰ τόκον Παρθένος διέμεινας, ὡς πρὸ τοῦ τόκου ἁγνὴ καὶ ἀκήρατος· ὅθεν ἅπαντες ὑμνοῦμεν τὰ μεγαλεῖά Σου, δι’ ὧν ἐκ τῆς φθορᾶς ἀπελυτρώθημεν.

*Μετὰ τὸν Πολυέλεον, Κάθισμα. Ἦχος α΄. Ὁ ὑψωθείς.*

Τῆς Ἐκκλησίας ὁ σοφὸς Ἱεράρχης, καὶ ὑποφήτης τῶν ἐνθέων δογμάτων, ὁ ἱερὸς ὑμνήσθω μοι Σωφρόνιος, βίου γὰρ λαμπρότητι, τὴν ζωὴν κυβερνήσας, σάλπιγξ μεγαλόφωνος, εὐσεβείας ἐδείχθη, καὶ μεταστὰς ἐν δόξῃ πρὸς Χριστόν, πᾶσιν αἰτεῖται, πταισμάτων συγχώρησιν.

*Δόξα... Καὶ νῦν... Θεοτοκίον*

Τὸν ὑπερούσιον καὶ ἄναρχον λόγον, οὐσιωθέντα καθ’ ἡμᾶς ὑπὲρ Λόγον, καὶ ὑπὸ χρόνον ἄνθρωπον γενόμενον, τέτοκας πανάμωμε ἐξ ἀχράντου γαστρός Σου, καὶ Υἱόν Σου ἔσχηκας, καὶ ἀγκάλαις συνέσχες, Ὃν ἐκδυσώπει Κόρη μητρικῶς, σώζεσθαι πάντας, τοὺς Σὲ μεγαλύνοντας.

Εἶτα, οἱ Ἀναβαθμοί· τὸ α’ Ἀντίφωνον τοῦ δ’ ἤχου.

Προκείμενον: *Τὸ στόμα μου λαλήσει σοφίαν, καὶ ἡ μελέτη τῆς καρδίας μου σύνεσιν.*

Στ.: *Οἱ ἱερεῖς Σου Κύριε ἐνδύσονται δικαιοσύνην, καὶ οἱ ὅσιοί Σου ἀγαλλιάσονται.*

Εὐαγγέλιον, Ἱεραρχικόν.

Ὁ Ν’ ψαλμός.

Δόξα: Ταῖς τοῦ Ἱεράρχου...

Καὶ νῦν: Ταῖς τῆς Θεοτόκου...

Ἰδιόμελον. Ἦχος πλ. β΄. Στ.: Ἐλέησόν με ὁ Θεός...

Ἀγγελικῶς ἀνύσας τὴν ζωήν, τῶν ἀρετῶν τὴν γνῶσιν, τοῖς πιστοῖς ὑφηγήσω, καὶ ἱεραρχίας τύπον σαὐτὸν παρέστησας, ἀρχιεράρχα Σωφρόνιε. Πράξει γὰρ καὶ θεωρίᾳ, ποικίλως διέπρεψας, καὶ τοῦ Εὐαγγελίου τὸν λόγον, εὐσεβῶς ἐτράνωσας· ἐν αὐτῷ καὶ ἡμᾶς πολιτεύεσθαι ἐνίσχυσον, Ἱεράρχα μακάριε, ταῖς πρὸς Χριστὸν πρεσβείαις σου.

Εἶτα, οἱ Κανόνες· τῆς Θεοτόκου καὶ τοῦ Ἁγίου.

*ᾨδὴ α'. Ἦχος δ'. Ἀνοίξω τὸ στόμα μου*

Σωφρόνως διέπλευσας, τῆς σωφροσύνης τὸ πέλαγος, ταῖς αὔραις τοῦ Πνεύματος, οἰακιζόμενος, καὶ συνήθροισας, πολλὴν περιουσίαν, σοφίας χαρίσματι, Πάτερ Σωφρόνιε.

Ὡς Ἄγγελος γέγονας, τῆς τοῦ Χριστοῦ Ἀναστάσεως, καὶ πρόεδρος ἔνθεος, τοῦ θείου Μνήματος, τοῦ πλουτήσαντος, πηγὴν ἀθανασίας, Χριστὸν τὸν ἐγείραντα, πτῶσιν τοῦ γένους ἡμῶν.

Φαιδρότητι λόγων σου, διανοίας ὀξύτητι, τὸν κόσμον ἐφαίδρυνας, θεολογήσας τρανῶς, τρισυπόστατον, Θεότητος οὐσίαν, Μονάδα τρισάριθμον, Πάτερ Σωφρόνιε.

Ῥημάτων ὁ φθόγγος σου, καὶ τῶν δογμάτων ἡ εὔσημος, κιθάρα διέδραμε, τῆς γῆς τὰ πέρατα, τὸ μυστήριον, τῆς οἰκονομίας, τοῦ Λόγου διδάσκουσα, Πάτερ θεόληπτε.

*Θεοτοκίον*

Ὁ ὢν φύσει ἄκτιστος, καὶ τῷ Πατρὶ συναΐδιος, καὶ χρόνων ὑπέρτερος, καὶ προαιώνιος, ἐκ σοῦ Δέσποινα, κτιστὸς καὶ ὑπὸ χρόνον, ὡς ἄνθρωπος γίνεται, σῴζων τόν ἄνθρωπον.

*ᾨδὴ γ'. Οὐκ ἐν σοφίᾳ*

Στηριζομένη, βακτηρίᾳ τῶν λόγων σου Ὅσιε, τὰς ὁρμὰς τῶν δυσσεβῶν, καὶ θεομάχων αἱρέσεων, ἐλαύνει διώκουσα, ἡ Ἐκκλησία Χριστοῦ.

Ὑπερμαχήσας, τοῦ σεπτοῦ θεοφόρε κηρύγματος, ἀνεδείχθης νικητής, τῇ συμμαχίᾳ τοῦ Πνεύματος, σοφῶς δυναμούμενος, Πάτερ Σωφρόνιε.

Νεκρώσας πᾶσαν, φθειρομένης σαρκὸς ἡδυπάθειαν, τὴν ἀκήρατον ψυχήν, δι' εὐσεβείας ἐζώωσας, καὶ ταύτην ἀνέδειξας, ἔνθεον ὄργανον.

Ἡ θεολόγος, καὶ τερπνὴ καὶ μελίῤῥυτος γλῶσσά σου, τοὺς τοῦ λόγου ποταμούς, ἀναπηγάζει θεόληπτε, τὰ θεῖα διδάγματα, πᾶσι προχέουσα.

*Θεοτοκίον*

Σὲ τὴν τεκοῦσαν τὸν Θεόν, Θεοτόκον δοξάζομεν, τῷ Γεννήματι τῷ σῷ, προσηγορίαν ἁρμόζοντες, καὶ κλῆσιν κατάλληλον, πάναγνε Δέσποινα.

*Κάθισμα. Ἦχος δ'. Ταχὺ προκατάλαβε.*

Τοῖς λόγοις ἐκόσμησας τὴν Ἐκκλησίαν Χριστοῦ, τοῖς ἔργοις ἐτήρησας τὸ κατ' εἰκόνα Θεοῦ, Σωφρόνιε Ὅσιε· ἔλαμψε γὰρ ἐν κόσμῳ, ἡ ἐν σοὶ σωφροσύνη, χάριτας διδαγμάτων, ἀπαστράπτουσα πᾶσι, τοῖς πίστει ἑορτάζουσι Πάτερ τὴν μνήμην σου.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον*

Ἐκαίνισας Ἄχραντε τῷ θείῳ τόκῳ σου, φθαρεῖσαν τοῖς πάθεσι τῶν γηγενῶν τὴν θνητήν, οὐσίαν καὶ ἤγειρας, πάντας ἐκ τοῦ θανάτου, πρὸς ζωὴν ἀφθαρσίας· ὅθεν σε κατὰ χρέος, μακαρίζομεν πάντες, Παρθένε δεδοξασμένη, ὡς προεφήτευσας.

*ᾨδὴ δ'. Ὁ καθήμενος ἐν δόξῃ*

Μίαν ἄναρχον οὐσίαν, ἐν τρισὶν ὑποστάσεσιν, ἰδικαῖς τελείαις, Πάτερ σὺ σοφῶς ἐδογμάτισας, διαιρουμένην ἀτμήτως, ἑνουμένην τε ἀσυγχύτως, βουλήσει μιᾷ καὶ Θεότητι.

Ἔχων σώφρονας τὰς φρένας, καὶ τὸν νοῦν σωφρονέστερον, οὐ φυρμὸν ἐφρόνεις, Πάτερ οὐ τροπὴν οὐδὲ σύγχυσιν, τῶν ἡνωμένων ἀτρέπτως δύο φύσεων, ἐν ἑνὶ Χριστῷ, μονογενεῖ ἀπαστράπτουσαν.

Λαμπρυνόμενος ἐνθέως, φωτισμῷ τῷ τοῦ Πνεύματος, τὴν δεινὴν μανίαν, τὴν τοῦ Νεστορίου διέλυσας, ταυτοβουλίᾳ καὶ γνώμῃ τοῦ τὴν ἕνωσιν, δογματίσαντος, ἐπὶ Χριστοῦ δύο φύσεων.

Πύῤῥον ἔφλεξας ἀντάρτην,τῶ πυρὶ τῶν δογμάτων σου, ἀθετοῦντα δύο, εἶναι τοῦ Χριστοῦ τὰ θελήματα, ταῖς διαφόροις οὐσίαις τὰ κατάλληλα, ἐνεργείας τε, ἅμα διπλᾶς Πάτερ Ὅσιε.

*Θεοτοκίον*

Ὡραιώθης ὑπὲρ πᾶσαν, τῶν Ἀγγέλων εὐπρέπειαν, ὡς τεκοῦσα τούτων, Κόρη ποιητήν τε καὶ Κύριον, ἐκ σῶν ἀχράντων αἱμάτων σωματούμενον, τὸν ῥυόμενον, πάντας αὐτόν τοὺς δοξάζοντας.

*ᾨδὴ ε'. Ἀσεβεῖς οὐκ ὄψονται*

Τὴν σεπτὴν ἀνάστασιν, καὶ τάφον τῆς ζωῆς, ἀκλινεῖ πόθῳ θεωρῶν, θεωρίας ἤντλησας κρυφιομύστους, καὶ πιστοῖς μετέδωκας, Ἱεράρχα τῆς ἐλλάμψεως.

Ὁλικῶς ἐπόθησας, τὸν μόνον ἀγαθόν, πυρσωθεὶς φέγγει νοητῷ, καὶ πηγὴν ἠγάπησας τῆς ἀφθαρσίας, θεωρίαις Πάνσοφε, πρὸς αὐτὴν ἀνατεινόμενος.

Ναὸς ζῶν καὶ ἔμψυχος, ἐγένου τοῦ Θεοῦ, νεκρωθεὶς πᾶσι τοῖς ἐν γῇ, τὴν τοῦ λόγου τράπεζαν εὐθηνουμένην, κεκτημένος Ὅσιε, καὶ λυχνίαν τὴν τῆς πίστεως.

*Θεοτοκίον*

Ἐν δυσὶ νοούμενον, οὐσίαις τὸν Χριστόν, τὸν Υἱὸν τὸν μονογενῆ, τοῦ Θεοῦ τὸν ἄναρχον, σάρκα γενόμενον, ὑπὲρ λόγον τέτοκας, Θεομῆτορ ἀπειρόγαμε.

*ᾨδὴ ς'. Θύσω σοι*

Πλουσίως, ἐξεχύθη ἡ χάρις τοῦ Πνεύματος, τοῦ παναγίου θεόφρον, ἐν τοῖς χείλεσί σου· ὅθεν ὁ φθόγγος, τῶν σῶν λόγων, τοῦ ποταμοῦ μιμεῖται τὰ ῥεύματα.

Ὡς φοίνιξ, ἐν τῷ οἴκῳ Κυρίου ἐξήνθησας, τῇ εὐκαρπίᾳ τῶν λόγων, καθαρῷ τε βίῳ καταγλυκαίνων, τὰς καρδίας, Ἱεράρχα, τῶν πίστει τιμώντων σε.

Νεκροῦται, τῇ ζωτικῇ ῥομφαίᾳ τῆς γλώττης σου, τὸ τῶν αἱρέσεων στῖφος, καὶ θρασεῖα φάλαγξ τῶν θεομάχων, σφαττομένη, θανατοῦται δογμάτων σου ξίφεσιν.

*Θεοτοκίον*

Ὑμνοῦμεν, Θεοτόκε τὸν ἄχραντον τόκον σου, δι' οὗ σῳζόμεθα πάντες, καὶ θανάτου βρόχων καὶ δεινοτάτης, ἁμαρτίας, καὶ τῶν μυχῶν τοῦ Ἅδου λυτρούμεθα.

*Κοντάκιον. Ἦχος δ’. Ἐπεφάνης σήμερον.*

Ἐπεφάνης σήμερον, λαμπρυνθεὶς τοῦ πνεύματος τῇ ἐπιπνοίᾳ, Ἱεράρχης ὅσιος ὡς Ἀποστόλων μιμητής, ἐν τῇ Σιὼν ἐχρημάτισας, Πάτερ παμμάκαρ Σωφρόνιε πάνσοφε.

*Ὁ Οἶκος.*

Φιλοσοφίαν ἀληθῆ ἀπὸ παιδὸς ποθήσας, ἐπλήσθης θείων δωρεῶν ἀποκαθάρας σου τὸν νοῦν, δι’ ἀμμελείαις ἀρετῶν καὶ πράξεων ὁσίων· ὅθεν Ἱεραρχίας τὸ φῶς δεξάμενος, ἔλαμψας ἐν τῇ Σιών, ὡς λύχνος φαεινότατος, καὶ ἑωσφόρος λαμπρός, πᾶσαν τὴν Ἐκκλησίαν καταυγάζων, ταῖς ἀστραπαῖς τῶν λόγων σου, καὶ ταῖς τῶν ἔργων ἐπιδείξεσιν, οἷα ποιμὴν ἀληθινός, καὶ Ἀποστόλων μιμητὴς ἐνθεώτατος. Πᾶσι γὰρ τὰ πρὸς σωτηρίαν ὑπέθου, ὡς πάντας σαφῶς Θεῷ κατευθύνων, Πάτερ παμμάκαρ, Σωφρόνιε πάνσοφε.

*Συναξάριον.*

*Τῇ ΙΑ΄ τοῦ αὐτοῦ Μηνός, Μνήμη τοῦ Ἁγίου Σωφρονίου Πατριάρχου Ἱεροσολύμων*

*Ἔσπευδε τηρεῖν καὶ κεραίαν τοῦ νόμου,*
*Ὁ Σωφρόνιος, οὗ παρ’ οὐρανοῖς κέρας.*
*Ἑνδεκάτῃ σαόφρων ἔδυ Σωφρόνιος παρὰ τύμβον.*

*ᾨδὴ ζ'. Ὁ διασώσας ἐν πυρί*

Μετὰ τῆς ἄνωθεν ῥοπῆς, ταῖς αἱρετικαῖς γλωσσαλγίαις, ἀντιταττόμενος Σοφέ, νικηφόρος

γενόμενος ἔψαλλες· Ὑπερύμνητε Κύριε, ὁ Θεὸς ὁ τῶν Πατέρων εὐλογητός εἶ.

Ὁ λαὸς ἀνάθημα Θεοῦ, τὰς τῶν Ἀσκητῶν φυτουργίας, περιϊπτάμενος, Σοφέ, τὸν λειμῶνα τὸν σὸν κατεφύτευσας, ἀρετῶν ἐμμελέτημα, τῷ Θεῷ τῷ ἐν ὑψίστοις καθιερώσας.

Νόμῳ πειθόμενος Χριστοῦ, τῆς σῆς ἐπιστήμης τὸν πλοῦτον, τοῖς δεομένοις εὐσεβῶς, ἀναμέλπων θεόφρον μετέδωκας· Ὑπερύμνητε Κύριε, ὁ Θεὸς ὁ τῶν Πατέρων εὐλογητός εἶ.

*Θεοτοκίον*

Ἁγιασθεῖσα τὴν ψυχήν, καὶ προκαθαρθεῖσα τὸ σῶμα, τῇ ἐπελεύσει ἐπὶ σέ, τοῦ Ἁγίου Πανάμωμε Πνεύματος, τοῦ Ὑψίστου τὴν δύναμιν, ἐν γαστρί σου συλλαβοῦσα τίκτεις ἀσπόρως.

*ᾨδὴ η'. Παῖδας εὐαγεῖς*

Ἱεραρχικῆς Ἱερουργίας, τῷ μύρῳ καθηγιάσθης τῷ τῆς χάριτος, ἔνθα πεφανέρωται, κόσμου ἡ σωτήριος Ἱεραρχία, πάνσοφε, Πάτερ Σωφρόνιε· Τὸν Κύριον ὑμνεῖτε κραυγάζων, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Σοφίαν τιμῶν διαφερόντως, στεφάνῳ τῷ τῶν χαρίτων ἐστεφάνωσαι, δόξαν τὴν ἀμάραντον, πλοῦτον ἀναφαίρετον, τὸ τῆς σοφίας, Ἔνδοξε δῶρον δεξάμενος, καὶ Κύριον ὑμνεῖτε, κραυγάζων, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Ἱεροπρεπῶς Ἱερομύστα, τὴν θείαν δικαιοσύνην ἐνδυσάμενος, ἴθυνας Πανόλβιε, Πάτερ γενναιότατα, τὸ τοῦ Δεσπότου ποίμνιον λόγοις καὶ πράξεσι· Τὸν Κύριον ὑμνεῖτε κραυγάζων, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Μεγαλοπρεπῶς καὶ ὑπὲρ λόγον, ὁ Λόγος ὁ τῷ Πατρὶ Πάτερ συνάναρχος, λόγον σοι δεδώρηται, λόγους διατρέφοντα, καὶ γλωσσαλγίας λύοντα τὰς τῶν αἱρέσεων, τόν Κύριον ὑμνεῖτε βοῶντα, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

*Θεοτοκίον*

Ἁγιοπρεπὴς Ναὸς ἐδείχθης, τοῦ Λόγου τοῦ πᾶσαν κτίσιν ἁγιάσαντος, ὄρος πῖον ἅγιον, ὄρος ἐμφανέστατον, εὐλογημένη Δέσποινα μόνη πανύμνητε. Διὸ σε Θεομῆτορ ὑμνοῦμεν, καὶ ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

*ᾨδὴ θ'. Λίθος ἀχειρότμητος ὄρους*

Ῥῆσις ἐκ χειλέων σου θείων, προερχομένη θεοῤῥῆμον, τὰς τῶν εὐσεβῶν διανοίας, καταγλυκαίνει διὰ τῆς χάριτος, ὥς περ κηρίον στάζουσα, τῶν νοημάτων τὴν εὐπρέπειαν.

Ἔνδον οὐρανίων ἀδύτων, περιπολεύεις θεηγόρε, περὶ τὸν τῶν ὅλων Δεσπότην καὶ Βασιλέα, ἔνθα χορεύουσιν, Ἀγγελικαὶ λαμπρότητες, καὶ τῶν Ἁγίων τὰ στρατεύματα.

Ζωὴν μετερχόμενος Πάτερ, ἐπὶ τῆς γῆς τὴν τῶν Ἀγγέλων, τῆς ἀγγελικῆς ἐν οὐρανοῖς, κατηξιώθης

μακαριότητος· ἔνθα Χριστὸν δυσώπησον, σωθῆναι πάντας τοὺς ὑμνοῦντάς σε.

Ὡς τῶν ἀρωμάτων φιάλαι, αἱ σιαγόνες σου θεόφρον, νάρδου πιστικῆς πολυτίμου, σοφίας γέμων ὤφθης ἀλάβαστρον, Σῶμα Χριστοῦ τὸ τίμιον, ἀρωματίζων τοῖς σοῖς δόγμασι.

*Θεοτοκίον*

Νεφέλην σε κούφην Παρθένε, ὁ Ἡσαΐας ἐθεώρει· ἐπὶ σοὶ γὰρ Κύριος ἐλθών, καθεῖλε πάντα τὰ χειροποίητα, καὶ τὴν αὐτοῦ ἐπίγνωσιν, τοῖς σὲ ὑμνοῦσιν ἐφανέρωσε.

*Ἐξαποστειλάριον. Γυναῖκες ἀκουτίσθητε.*

Ἐν τῇ Σιὼν ἱερεύσας, μετὰ σαρκὸς ὡς ἄγγελος, τῷ Παντοκράτορι Λόγῳ, Σωφρόνιε Ἱεράρχα, καὶ τὴν ψυχήν σου τέθηκας, ὑπὲρ τῆς ποίμνης Ὅσιε, θεηγορίας κρείττονι, τὴν ἐν Χριστῷ Σωτῆρι, οἰκονομίαν διδάσκων.

*Θεοτοκίον*

Ἐκ τῆς γαστρὸς ἔλαμψε, δικαιοσύνης ἥλιος, σάρκα λαβὼν τὴν βροτείαν, ὁ Ποιητὴς τῶν αἰώνων, καὶ κόσμον κατεφώτισε, θεογνωσίας λάμψεσι, οὗ ταῖς ἀκτῖσι λάμπρυνον, Θεογεννῆτορ Παρθένε, τὴν σκοτισθεῖσαν ψυχήν μου.

*Αἶνοι. Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.*

Τὸν Ἱεράρχην Κυρίου ἀνευφημήσωμεν, Σωφρόνιον τὸν μέγαν, Ἐκκλησίας φωστῆρα, τῶν Ἱεροσολύμων τὸν

εὐκλεῆ, καὶ πανθαύμαστον πρόεδρον, καὶ ἀρετῶν οὐρανίων ὑφηγητήν, καὶ σοφώτατον ἐκφάντορα.

Τῶν Ἀποστόλων τοὺς τρόπους ἐκμιμησάμενος, ὡς Ἱεράρχης θεῖος, καὶ σοφὸς θεηγόρος, ἐποίμανας ἐνθέως τὴν ἐν Σιών, Ἐκκλησίαν Σωφρόνιε, καὶ τὴν Ὀρθόδοξον πίστιν λόγῳ σοφῷ, θεοφρόνως διετράνωσας.

Τὰς ἀναιμάκτους θυσίας προσφέρων Ὅσιε, τῷ ἑαυτῷ θυσίαν, ἐν Σιὼν τῇ ἁγίᾳ, Χριστῷ προσαγαγόντι διὰ Σταυροῦ, τῷ Πατρὶ κόσμον σώζοντι, τῆς Ἀναστάσεως τούτου ταῖς μυστικαῖς, ἐπιλάμψεσιν ἠγλάϊσαι.

Τῶν ἀρετῶν ταῖς ἀκτῖσι καταλαμπόμενος, λόγῳ σοφῷ καὶ ἔργῳ, ὡς ποιμὴν θεηγόρος, καὶ θεῖος Ἱεράρχης τὴν τοῦ Χριστοῦ, Ἐκκλησίαν Σωφρόνιε, ἐπὶ λειμῶντας τοὺς θείους καθοδηγεῖς, τῆς ἐνθέου ἐπιγνώσεως.

*Δόξα. Ἦχος πλ. α΄.*

Ὅσιε Πάτερ, τῇ θύραθεν παιδείᾳ γυμνασάμενος, τῆς κεκρυμμένης ἐν Χριστῷ σοφίας, ἐμυήθης τὰς λαμπρότητας, τῇ ἐναρέτῳ πολιτείᾳ· ὅλον γὰρ σαὐτὸν ὑπέταξας, τῷ νόμῳ τῆς χάριτος, ἐκ δυνάμεως εἰς δύναμιν προβαίνων. Καὶ εὐαγγελικῶς ποιμάνας, τὴν τοῦ Χριστοῦ Ἐκκλησίαν, καλῶς τὸν δρόμον τετέλεκας, κατὰ Παῦλον τὸν θεῖον· ἀλλ’ ὦ θεηγόρε Σωφρόνιε, Ἱεραρχῶν ἀγλάϊσμα, ἀδιαλείπτως πρέσβευε, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

*Καὶ νῦν. Θεοτοκίον*

Ναὸς καὶ πύλη ὑπάρχεις, παλάτιον καὶ θρόνος τοῦ Βασιλέως, Παρθένε πάνσεμνε, δι' ἧς ὁ λυτρωτής μου Χριστὸς ὁ Κύριος, τοῖς ἐν σκότει καθεύδουσιν ἐπέφανεν, Ἥλιος ὑπάρχων δικαιοσύνης, φωτίσαι θέλων οὓς ἔπλασε, κατ' εἰκόνα ἰδίαν χειρὶ τῇ ἑαυτοῦ. Διὸ Πανύμνητε, ὡς μητρικὴν παῤῥησίαν πρὸς αὐτὸν κεκτημένη, ἀδιαλείπτως πρέσβευε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

*Δοξολογία Μεγάλη καὶ Ἀπόλυσις.*

*Μεγαλυνάριον.*

Αἴγλῃ γλωσσοπύρσευτον, ἐν Σιὼν τῇ θείᾳ, προσφοιτήσασαν μυστικῶς, ὤφθης Ἐκκλησίας, θεοειδὴς ἐκφάντωρ, καὶ στόμα θεῖον ὄντως, Πάτερ Σωφρόνιε.

**ΕΝ Τῌ ΠΡΟΗΓΙΑΣΜΕΝῌ**

Μετὰ τὰ συνήθη κατὰ τὴν τάξιν, καὶ τὰ ἐν Τριωδίῳ τροπάρια, ψάλλομεν τὰ ἑξῆς τοῦ Ἁγίου δ’. Ἦχος β'. Ὅτε ἐκ τοῦ ξύλου.

Ὅτε, Ἱεράρχης εὐκλεής, ὤφθης ἐν Σιὼν τῇ ἁγίᾳ, τῇ εὐδοκίᾳ Θεοῦ, τότε ἱεράτευσας Θεῷ ὡς ἄγγελος, καὶ σοφῶς καθοδήγησας, πρὸς τῆς εὐσεβείας, Πάτερ τὴν ἀκρίβειαν, τὴν Ἐκκλησίαν Θεοῦ· ὅθεν, σοῦ τὴν μνήμην τελοῦντες, τοὺς σοὺς μακαρίζομεν πόνους, Πάτερ ἱερώτατε Σωφρόνιε.

Χάρις, ἐξεχύθη δαψιλής, τοῦ Ἁγίου Πνεύματος Πάτερ, σοῦ ἐν τοῖς χείλεσιν· ὅθεν καὶ ἀνέβλυσας ζωῆς διδάγματα, ὥσπερ ὕδωρ ἁλλόμενον, ἐκ τοῦ στόματός σου, ἀρδεύοντα Σωφρόνιε, ψυχῶν τοὺς αὔλακας, πρὸς καρποφορίαν ἀρίστην, καὶ συγκομιδὴν αἰωνίαν, τῶν θεοπρεπῶς ἐφεπομένων σοι.

Λόγῳ, καὶ σοφίᾳ ἀληθεῖ, καὶ θεοπρεπεῖ πολιτείᾳ, καλλωπιζόμενος, ὤφθης ἐνθεώτατος Πάτερ Σωφρόνιε, ὥσπερ ἄλλος ἀπόστολος, ἐν Σιὼν τῇ θείᾳ, εὐαγγελιζόμενος πᾶσι τὰ κρείττονα· ὅθεν εὐσεβῶς διαπρέψας, δόξης αἰωνίου μετέσχες, καὶ τῶν ὑπὲρ λόγων ἐκοινώνησας.

Ἴχνεσι σοφῶς ἀκολουθῶν, Πάτερ τῶν Χριστοῦ Ἀποστόλων, ψυχῆς θερμότητι, τὸ ἀπερινόητον ὄντως μυστήριον, τῆς τοῦ Λόγου σαρκώσεως, λόγοις θεηγόροις, εὐσεβῶς ἐκήρυξας, καὶ θείοις δόγμασιν· ὅθεν, ἐδοξάσθης ἀξίως, καὶ Ἀγγέλων σύσκηνος ὤφθης, Ἱεράρχα ὅσιε Σωφρόνιε.

*Δόξα. Ἦχος β΄.*

Ἐν τῷ φωτὶ τοῦ Κυρίου πορευόμενος, ὡς καθαρὸς τὴν ψυχήν, θεοπρεπῶς ἐμυήθης τὰ ἄῤῥητα, σοφῶς ἱεραρχήσας ἐν Σιών. Καὶ ὡς Ἱεράρχης θεόληπτος, τὸν θεῖον βραβεύεις φωτισμόν, ἐν ταῖς καρδίαις τῶν πιστῶν· ὡς ἀρετῶν δὲ μυσταγωγός, ζηλοῦν τὰ κρείττονα χαρίσματα, ἡμᾶς παιδεύεις τῷ λόγῳ σου· ἐν ἀμφοτέροις γὰρ δόκιμος ὤφθης, Πνεύματι θείῳ ὁδηγούμενος· ἀλλ᾽ ὦ Σωφρόνιε μακάριε, Ἱεραρχῶν

ἀκροθίνιον, πρέσβευε δεόμεθα, ὑπὲρ τῶν τιμώντων σε.

*Καὶ νῦν. Θεοτοκίον.*

Τὴν πᾶσαν ἐλπίδα εἰς Σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην Σου.

Εἴσοδος μετὰ τοῦ Εὐαγγελίου καὶ τὰ λοιπὰ κατὰ τὴν γνωστὴν τάξιν τῆς Προηγιασμένης.

